UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Hapanta Ta Hellēnisti Heuriskomena

**Origenes**

**Coloniæ, 1685**

Ex Origenis Homilia, in Psalmum 82. Interprete Henrico Valesio.

urn:nbn:de:hbz:466:1-79842

Visual Library

# EX ORIGENIS HOMILIA,

## in Psalmum 82.

## *Interprete* HENRICO VALESIO.

A Ἐλήλυθέ τις ἐπὶ τοῦ παρόντος μέγα φρονῶν ἐπὶ τῷ δύνασθαι πρεσβεύειν γνώμης ἀθέου, καὶ ἀσεβεστάτης, καλουμένης Ἐλκεσαϊτῶν, νεωστὶ ἐπανισταμένης ταῖς ἐκκλησίαις· ἐκείνη ἡ γνώμη οἷα λέγει κακὰ παραθήσομαι ὑμῖν, ἵνα μὴ συναρπάζησθε· ἀθετεῖ τινα ἀπὸ πάσης γραφῆς. κέχρηται ῥητοῖς πάλιν ἀπὸ πάσης παλαιᾶς τε καὶ εὐαγγελικῆς. τὸν ἀπόστολον τέλεον ἀθετεῖ. φησὶ δὲ ὅτι τὸ ἀρνήσασθαι ἀδιάφορόν ἐστι. καὶ ὁ μὲν νοήσας, τῷ B στόματι ἐν ἀνάγκαις ἀρνήσεται, τῇ δὲ καρδίᾳ οὐχί· καὶ βίβλον τινὰ φέρουσιν, ἣν λέγουσιν ἐξ οὐρανοῦ * καταπεπτωκέναι, καὶ τὸν ἀκηκοότα ἐκείνης, καὶ πιστεύοντα, ἄφεσιν λήψεσθαι τῶν ἁμαρτημάτων, ἄλλην ἄφεσιν παρ' ἣν Χριστὸς Ἰησοῦς ἀφῆκε·

* Rob. Steph. πεπωκέναι

QUidam nuper advenit de se ipse magnifice sentiens, utpote qui impiam & nefariam Helcesaitarum opinionem, quæ adversus Ecclesiam recens coorta est, possit defendere. Exponam autem vobis, quæ & quanta perperam asserat hæc secta, ne forte vos ab illa abripi sinatis. Ex universo sacræ Scripturæ canone quædam rejicit; quibusdam vero utitur testimoniis, tum ex Vetere Instrumento, tum ex Evangelio. Paulum quidem Apostolum integrum repudiat. Docet præterea indifferentem rem esse Christum abnegare; & eum qui sapit, ore quidem tenus in ipso discrimine negaturum esse, sed non ex animi sententia. Librum etiam proferunt, quem è cœlo delapsum affirmant: eosque qui auscultaverint illi, & crediderint, peccatorum veniam consecuturos, & quidem diversam ab illa peccatorum remissione, quam Jesus Christus impertiit.

---

ΑΠΟ ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ ΕΙΣ ΤΟ ΑΣΜΑ ΤΩΝ ΑΣΜΑΤΩΝ.

Ἐκ τοῦ εἰς τὸ ᾆσμα μικροῦ τόμου, ὃν ἐν τῇ νεότητι ἔγραψεν·

# EX ORIGENIS COMMENTARIIS IN CANTICUM CANTICORUM

*E parvo Tomo in Canticum, quem juvenis scripserat.*

## *Interprete* JO ANNE TARINO.

C Τῷ μὴ ἐξειληφότι τὸ ἰδίωμα τῶν προσώπων τῆς θείας γραφῆς, τῶν τε λεγόντων, καὶ τῶν πρὸς οὓς ὁ λόγος, πολλὴν παρέχει σύγχυσιν τὰ λεγόμενα, ζητοῦντι τὸ λέγον πρόσωπον ὅ, τί ποτέ ἐστι, καὶ τὸ πρὸς ὃ ὁ λόγος ὁποῖον, καί ποτε τὸ λέγον ἐπαύσατο πρόσωπον, τοῦ πρὸς ὅ ἐστι * πολλάκις τηρουμένου, καὶ ἑτέρου πρὸς τὸ αὐτὸ λέγοντος, ἢ τοῦ πρὸς ὃ ὁ λό-

* ἴσ. ὁ λόγος

QUi non perceperit proprietatem personarum divinæ Scripturæ, tum earum quæ loquuntur, tum ad quas verba fiunt, multum illi perturbationis afferent quæ dicuntur, quærenti, quænam sit persona loquens, quænam ea ad quam sermo fit, cur desierit persona quæ loquebatur; cum sæpe cui verba fiunt, reservetur, & alia cum ea ipsa loquatur, vel ea ad quam erat sermo